νηδὺς δὲ τριτοκεῖ ἀνὰ πᾶν ἔτος, ἐκ δὲ γάλακτος
θήλη ἀεὶ μαστοῦ πλήθεται οὐθατίου·
βληχὴ δ' ἀσσοτάτω τερένης μυκήματι μόσχου·
ἄλλα γὰρ ἀλλοῖαι πάντα φέρουσι γέαι.

## XXXIX

θάρσει καὶ τέτταρσι διαπλασθέντα προσώποις
μῦθον καὶ τούτων γράψαι ἔτι πλέοσιν·
οὔτε σὲ γὰρ λείψουσι, Φιλωνίδη, οὔτε Βάθυλλον,
τὸν μὲν ἀοιδάων, τὸν δὲ χορῶν χάριτες.

## XL

εἰ καὶ τὸ σῆμα λυγδίνης ἀπὸ πλακός
καὶ ξεστὸν ὀρθῇ λαοτέκτονος στάθμῃ,
οὐκ ἀνδρὸς ἐσθλοῦ. μὴ λίθῳ τεκμαίρεο,
ὦ λῷστε, τὸν θανόντα· κωφὸν ἡ λίθος,
τῇ καὶ ζοφώδης ἀμφιέννυται νέκυς.
κεῖται δὲ τῇδε τὠλιγηπελὲς ῥάκος
Εὐνικίδαο, σήπεται δ' ὑπὸ σποδῷ.

## XLI

τήνδ' ὑπὸ δύσβωλον θλίβει χθόνα φωτὸς ἀλιτροῦ
ὀστέα μισητῆς τύμβος ὑπὲρ κεφαλῆς
στέρνα τ' ἐποκριόεντα καὶ οὐκ εὔοδμον ὀδόντων
πρίονα καὶ κώλων †δούλιον οἰοπέδην†,